τες εὐφημοῦντες τὸν ξάνθον. ὁ δὲ σχολαστικὸς πεσὼν
πρὸς τοὺς πόδας τοῦ ξάνθου, λέγει μέγας εἶ καθηγητὰ, νε-
νίκηκάς με, παρακαλῶ λυθῆναι τὰς συνθήκας. τοῦ οὖν
ὄχλου συμπαρακαλοῦντος ἐπείσθη ὁ ξάνθος λυθῆναι τὰς συν-
θήκας. ἐλθόντος δὲ αὐτοῦ εἰς τὴν οἰκίαν προσελθὼν αὐτῷ
ὁ αἴσωπος λέγει, ὁ πάντα σου τὸν βίον περισώσας ἀνάξιός
εἰμι τυχεῖν ἐλευθερίας. ὁ δὲ ξάνθος ὑβρίσας ἐξεδίωξεν αὐ-
τὸν, λέγων, τί μὴ γὰρ τοῦτο καὶ ἐγὼ οὐκ ἐνεθυμούμην. ἔξελ-
θε οὖν πρὸ τοῦ πυλῶνος, καὶ ἐὰν ἴδῃς δικόρωνον ἀνάγγελόν
μοι ὅτι καλὸν τὸ σημεῖον. εἰ δὲ μονοκόρωνον, κακὴ ἡ
οἰωνοσκοπία. ἐξελθὼν δὲ ὁ αἴσωπος, καὶ ἰδὼν κατὰ
τύχην πρὸ τοῦ πυλῶνος εἰσελθὼν ἀπήγγελε τῷ ξάνθῳ
καὶ προσελθὼν παρῆν. ἐν τῷ ἐξέρχεσθαι αὐτὸν ἡ
μία ἀπέπτη. ὁ δὲ ξάνθος ἰδὼν τὴν μίαν ἔφη, οὐκ
εἶπάς μοι κατάρατε, ὅτι δικόρωνον ἐστὶ πρὸ τοῦ πυ-
λῶνος

http://digital.slub-dresden.de/ppn346259193/67